# 28 FEBRUARIE

# SLUJBA SF.MUCENITE KIRANA DE LA TESALONIC

## MINEIUL-GR

www.tezaurliturgic.ro



# Ἀσματικὴ ἀκολουθία τῆς Ἁγίας ἐνδόξου μεγαλομάρτυρος Κυράννης τῆς ἀπὸ Ὄσσης τῆς Θεσσαλονίκης καταγομένης

Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

## Ἐν τῷ Ἑσπερινῷ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ· Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η' καὶ ψάλλομεν β' τῆς Ἑορτῆς καὶ στ' τῆς Ἁγίας.

Τῆς Ἑορτῆς. Ἦχος β'.

Τὸν φωτισμὸν ἡμῶν, τὸν φωτίσαντα πάντα ἄνθρωπον, ἰδὼν ὁ Πρόδρομος, βαπτισθῆναι παραγενόμενον, χαίρει τῇ ψυχῇ, καὶ τρέμει τῇ χειρί· δείκνυσιν αὐτόν, καὶ λέγει τοῖς λαοῖς· Ἴδε ὁ λυτρούμενος τὸν Ἰσραήλ, ὁ ἐλευθερῶν ἡμᾶς ἐκ τῆς φθορᾶς. Ὢ ἀναμάρτητε, Χριστὲ ὁ Θεὸς ἡμῶν, δοξα σοι.

Τοῦ Λυτρωτοῦ ἡμῶν, ὑπὸ δούλου βαπτιζομένου, καὶ τῇ τοῦ Πνεύματος παρουσίᾳ μαρτυρουμένου, ἔφριξαν ὁρῶσαι ᾿Αγγέλων στρατιαί· φωνὴ δὲ ούρανόθεν ἠνέχθη ἐκ Πατρός. Οὗτος ὃν ὁ Πρόδρομος χειροθετεῖ, Υἱός μου ὑπάρχει ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα. Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Τῆς ῾Αγίας. Ἦχος δ'. Ὡς γενναῖον ἐν Μάρτυσι.

Ὡς παρθένος ἀκήρατος, τῷ Σωτῆρι νενύμφευσαι, τῇ λαμπρᾷ ἐνστάσει σου καλλιπάρθενε, καὶ μαρτυρίου τοῖς σκάμμασιν, ἐχθρὸν καταβέβληκας, ἐν ἀνδρείῳ λογισμῷ, γυναικείῳ δὲ σώματι, ἐναθλήσασα· διὰ τοῦτο τιμῶμέν σε Κυράννα, ὡς Χριστοῦ ἄμωμον νύμφην, καὶ ᾿Αθληφόρον περίδοξον.

Ού νεότης τοῦ σώματος, ού βασάνων ἡ ἔφοδος, τῆς Χριστοῦ ἀγάπης σε ἠδυνήθησαν, ἀποχωρίσαι πανεύφημε, ἀλλ' ἔστης ἀπτόητος, πρὸς τυράννων ἀπειλάς, καὶ εἱρκτῆς τὴν κατάκλεισιν, στερρρῶς ἤνεγκας, καὶ μαστίγων πολλῶν λαβοῦσα πεῖραν, νικηφόρος ἀνεδείχθης, Μάρτυς Κυράννα τῇ χάριτι.

Ἀπειλαῖς ούκ ἐπτόησαι, καὶ σκληρῶν μαστιγώσεων, ἐν εἱρκτῇ ὑπέμεινας τὸ ἐπώδυνον, δυναμουμένη τῷ ἔρωτι, Χριστοῦ τοῦ νυμφίου σου· σιδηροῖς γὰρ ἐν κλοιοῖς, δεσμουμένη, ὡς ἄσαρκος, καὶ είς ὕψος δέ, ὦ Κυράννα δεινῶς αἰωρουμένη, ἐθριάμβευσας είς τέλος, τὴν τῶν τυράννων ὠμότητα.

Φῶς οὐράνιον ἔλαμψεν, ἐν εἱρκτῇ καλλιπάρθενε, καὶ τὸ θεῖον σῶμά σου κατεκάλυψεν, ὅτε είς χεῖρας τοῦ κτίστου σου, ἀπέδως τὸ πνεῦμά σου, τῇ ἀθλήσει λαμπρυνθέν, καὶ οἱ ταῦτα θεώμενοι ἐξεπλάγησαν, καὶ ἀνύμνουν Χριστὸν Μεγαλομάρτυς, τὸν δοξάσαντα Κυράννα, ἀθλητικοῖς σου χαρίσμασι.

Τὸ τῆς Ὄσσης ἀγλάϊσμα, καὶ φυτὸν εὐωδέστατον, καὶ μεσῖτιν ἔνθεον πρὸς τὸν Κύριον, καὶ πολιοῦχον καὶ ἔφορον, Κυράνναν τὴν ἔνδοξον, τῶν Ὀσσαίων οἱ χοροί, κατὰ χρέος τιμήσωμεν, ἀνακράζοντες· τῇ θερμῇ σου πρεσβείᾳ ἀεὶ σκέπε, τὴν λαμπρῶς σε ἐνεγκοῦσαν, πάσης ἀνάγκης καὶ θλίψεως.

Ἐν σοὶ χαίρει καὶ γάννυται, εὐφροσύνην τὴν ἔνθεον, καυχωμένη ἔνδοξε τῇ ἀθλήσει σου, Ὄσσα ἡ σὲ γεωργήσασα, ὡς δένδρον κατάκαρπον, εὐκαρπίας μυστικῆς, καὶ ναόν σου πανάγιον ἀνεδείματο, καὶ φαιδρῶς σου τὴν μνήμην ἐκτελοῦσα, ἀπεκδέχεται Κυράννα, τῶν πρεσβειῶν σου τὰς χάριτας.

Δόξα. Ἦχος πλ.β΄.

Σήμερον ἡ τῆς ἀθληφόρου Κυράννης, μνήμη, τῇ Ἐκκλησίᾳ ἀνέτειλε, τὸ τῆς ἐπιφανείας τοῦ Χριστοῦ φῶς ἐπιφέρουσα· δεῦτε οὖν ἀθλητικῶν λαμπηδόνων μετάσωμεν, πιστῶς ἑορτάζοντες, καὶ βοῶντες τῇ Μάρτυρι· χαίροις ἡ τὴν παρθενίαν λαμπροτέραν τελέσασα, τοῖς ὑπὲρ Χριστοῦ ἀγωνίσμασιν, ὡς τῶν πάλαι Μαρτύρων, τὴν ἀρετὴν ζηλώσασα· χαίροις ἡ τὴν

κλῆσιν τῇ πράξει σφραγίσασα, καὶ ἀθλητικῷ τέλει ὡς ἄμωμον ἱερεῖον, προσενεχθεῖσα Κυρίῳ· χαίροις Νεομαρτύρων κλέος, καὶ τῆς ἐνεγκαμένης σε Ὄσσης, ἐγκαλλώπισμα καὶ γέρας, καὶ θερμὴ ἀντίληψις· ἣν ἀεὶ περίεπε, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Τὸν ἐκ Παρθένου Ἥλιον, βλέπων ὁ ἐκ στείρας Λύχνος φαεινός, ἐν Ἰορδάνῃ αἰτούμενον βάπτισμα, ἐν δειλίᾳ καὶ χαρᾷ, ἐβόα πρὸς αὐτόν· Σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

(Κεφ. μγ'. 9)

Τάδε, λέγει Κύριος · Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθησονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας, αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μαρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισμα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος.

Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ είμι, και ούκ ἔστιν ὁ ἐκ τῶν χειρῶν ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

## (Κεφ. λα' 10, 26)

Γ υναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τὰς χεῖρας αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τοὺς δὲ πήχεις αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ· Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

## (Κεφ. γ', 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

## Ἦχος α'.

Χαίρει ἐν Κυρίῳ, Ὄσσα ἡ πατρίς σου, λαμπρυνομένη τῇ ἀθλήσει σου, καλλιμάρτυς Κυράννα· τὸν γὰρ Κύριον τῶν κυρίων, ὁλικῶς Χριστὸν ἀγαπήσασα, αὐτῷ μόνῳ μεμνήστευσαι, ὡς παρθένος φρονίμη· καὶ ὡς προῖκα πολύτιμον, τούτῳ προσήγαγες, τοὺς στερροὺς

ἀγῶνάς σου· ὅθεν λαμπρῶς δοξασθεῖσα, πᾶσι παρέχεις τὰ ἰάματα, καὶ τῆς σῆς προστασίας, τὰς ἐναργεῖς ἀντιλήψεις, ἀπαύστως πρεσβεύουσα, ὑπὲρ τῶν τιμώντων σε.

### Ἦχος β'.

Παρθενικῇ κοσμουμένη χάριτι, σεμνῶν ἠθῶν ταμεῖον πέφηνας, καὶ βίου ἀμέμπτου, ἀκηλίδωτον ἔσοπτρον· ἔνθεν βασκάνῳ ὄμματι, ἐπελθὼν σοι ὁ ἐχθρός, τὸν τῆς ψυχῆς σου πλοῦτον, ἐπειρᾶτο συλᾶν, Κυράννα θεόνυμφε· σὺ δὲ Χριστῷ ἀτενίζουσα, ὄμμασι νοός, οὐδαμῶς σεσάλευσαι, τῆς κρείττονος στάσεως, καὶ ἀνδρείᾳ γνώμῃ, τὸ τῶν Μαρτύρων ὑπῆλθες στάδιον. ᾿Αλλ' ὡς ἔχουσα παρρησίαν, Παρθενομάρτυς ἔνδοξε, ἱκέτευε πρὸς Κύριον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχος γ'.

Τίς ἐπαξίως ὑμνήσει, τὸ ἀκατάπληκτόν σου σθένος, καὶ ἀρετῆς τὴν στερρότητα, Μεγαλομάρτυς ἀήττητε; τὸ γὰρ τοῦ θήλεος ὑπεριδοῦσα χαῦνον, πρὸς ἀθλητικοὺς καμάτους, ἀνδρικῶς ἐχώρησας, ἀρνησαμένη σεαυτὴν καὶ ἀπειλὰς τυράννων μὴ πτήξασα, καὶ δωρεῶν ἐπαγγελίας σκυβαλίσασα, ὡς τρυφὰς ἡγήσω, τὰς τῶν μαστίγων ἐπιφοράς· δι' ὧν ὡς χρυσὸς λαμπρυνθεῖσα, καὶ ὑπὲρ ἥλιον λάμψασα, λαμπαδοφόρος ἀνῆλθες, εἰς τὸν οὐράνιον θάλαμον. ᾿Αλλ' ὦ Κυράννα πανεύφημε, τῷ ἀθανάτῳ νυμφίῳ σου πρέσβευε, ῥύεσθαι ἡμᾶς πάσης θλίψεως.

Ἦχος δ'.

Ἀθλητικῇ εὐσθενείᾳ, καὶ ψυχικῇ φαιδρότητι, τὰς τῆς εἱρκτῆς κακώσεις καρτεροῦσα, θείας ἀντελάβου ἐπισκέψεως κρείττονος, Κυράννα καλλιπάρθενε· καὶ ταῖς ἐκ μαστίγων πληγαῖς, ὡς ἐν μαργάροις λαμπροῖς ὡραϊσθεῖσα, πρὸς τὸν οὐράνιον νυμφῶνα ἀνέδραμες, καλῶς τὸν δρόμον ἀνύσασα· ὅθεν οὐρανίῳ φωτί, τὸ σὸν σκῆνος δεδόξασται, εὐωδίας ἀρρήτου, ἁγιασμὸν πηγάζον· διὸ τὴν σὴν γεραίροντες μνήμην, τὴν σὴν ἐπιβιώμεθα βοήθειαν, ἐν εὐκαιρίαις καὶ θλίψεσιν, οἱ τῷ ναῷ σου πιστῶς προστρέχοντες.

Δόξα. Ὁ αὐτός.

Μαρτυρικὴν ἐπιδείξασα ἀνδρείαν, τυραννικὴν ἐξεφαύλισας ὀφρύν, θεολήπτῳ ψυχῇ, καὶ ἔρωτι ἁγίῳ Κυράννα καλλιπάρθενε· ἐν ὑστέροις γὰρ χρόνοις, τῶν πάλαι Μαρτύρων τὴν ἀρετὴν ἀνεζωγράφησας, καὶ τῶν ἐκείνοις ἐπάθλων, κατ' ἀξίαν ἐκοινώνησας· Χριστὸς γὰρ ὁ Κύριος, οὗ τὰ στίγματα ἔφερες τῷ ἁπαλῷ σου σώματι, θαυμαστῶς σε ἐδόξασε, καὶ παρέχει διὰ σοῦ τοῖς πιστοῖς, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς ῾Εορτῆς.

Σὲ τὸν ἐν Πνεύματι καὶ πυρί, καθαίροντα τὴν ἁμαρτίαν τοῦ κόσμου, καθορῶν ὁ Βαπτιστής, ἐρχόμενον πρὸς αὐτόν, δειλιῶν καὶ τρέμων ἐβόα λέγων· οὐ τολμῶ κρατῆσαι τὴν κορυφήν σου τήν

ἄχραντον· σύ με ἁγίασον Δέσποτα τῇ ἐπιφανείᾳ σου, μόνε Φιλάνθρωπε.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις Παρθενομάρτυς Χριστοῦ, τῆς παρθενίας τὸ εὐῶδες κειμήλιον, ἀγάπης θείας τὸ ἄνθος, βίου σεμνοῦ λαμπηδών, εὐσεβείας σκεῦος πολυτίμητον. Μαρτύρων στερρότητος, θαυμαστὸν ἀπεικόνισμα σεμνή Κυράννα, ἡ τῇ κλήσει δηλώσασα, τὰς ἐσύστερον, εὐκλεεῖς ἀριστείας σου· γνώμῃ ἀνδρειοτάτῃ γάρ, νομίμως ἐνήθλησας, μὴ πτοηθεῖσα τυράννων, τὰς ἀπειλὰς καὶ τὰς μάστιγας. Καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Ὑπομένων ὑπέμεινα τόν Κύριον καὶ προσέσχε μοι.

Χαίροις Παρθενομάρτυς Χριστοῦ, ἡ τοῦ Σωτῆρος πτερωθεῖσα τῷ ἔρωτι, καὶ πάντων ὑπεριδοῦσα, τῶν ἐν τῷ βίῳ τερπνῶν, οἷα οὐρανόφρων καὶ θεόληπτος· ἐντεῦθεν ὑπέμεινας τὰς πηγὰς καὶ τὰς μάστιγας, τὰς αἰωρήσεις, χαλεπῇ ἰταμότητι, καὶ τὴν κάθειρξιν, καὶ δεσμὰ καὶ τὸν θάνατον· ὅθεν πρὸς τὴν ἀθάνατον, μετέβης λαμπρότητα, πεποικιλμένη Κυράννα, τοῦ μαρτυρίου τοῖς στίγμασι, Χριστὸν δυσωποῦσα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.

Χαίροις Παρθενομάρτυς Χριστοῦ, παρθένων δόξα καὶ Μαρτύρων ὡράϊσμα, καὶ Ὄσσης τῆς σῆς πατρίδος, τῆς καυχωμένης ἐν σοί, θερμοτάτη πρέσβις πρὸς τὸν Κύριον, καὶ σκέπη καὶ ἔφορος, καὶ ταχεῖα ἀντίληψις, καὶ πολιοῦχος, εἰσαεὶ ταύτῃ νέμουσα, τῆς πρεσβείας σου, δαψιλῶς τὰ δωρήματα· ὅθεν καὶ τὴν ἁγίαν σου, γεραίρουσα ἄθλησιν, ἐν τῷ ναῷ σου Κυράννα, πίστει προστρέχει ἑκάστοτε, ἐξ οὗ ἀναβλύζει, ἰαμάτων θεῖα ῥεῖθρα, καὶ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

Τῆς θείας ἀγάπης, ἐν τῇ ψυχῇ τὸ πῦρ πλουτήσασα, ὃ βαλεῖν ἐπὶ τῆς γῆς, ἐλήλυθε Χριστός, ἄνθραξιν ἀθλητικοῖς, ὡς ὕλην κατέφλεξας, τῆς ἀσεβείας τὴν ἔνστασιν· ἔνθεν ὁ σὸς νυμφίος, οὐρανίῳ φωτὶ ἐδόξασε, τὴν πρὸς αὐτὸν μαρτυρικὴν ἐκδημίαν σου, Μεγαλομάρτυς κυριώνυμε. Καὶ νῦν τῆς ἄνω λαμπρότητος, ἀμέσως τρυφῶσα, Κυράννα θεόφρον, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς

Σήμερον ἡ κτίσις φωτίζεται· σήμερον τὰ πάντα εὐφραίνονται, τὰ οὐράνια, ἅμα καὶ τὰ ἐπίγεια. Ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται· ὅπου γὰρ Βασιλέως παρουσία, καὶ ἡ τάξις παραγίνεται.

Δράμωμεν τοίνυν ἐπὶ τὸν ᾿Ιορδάνην· ἴδωμεν πάντες τὸν ᾿Ιωάννην, πῶς βαπτίζει κορυφήν, ἀχειροποίητον καὶ ἀναμάρτητον. Διὸ ᾿Αποστολικὴν φωνὴν προσᾴδοντες, συμφώνως βοήσωμεν· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις, καταυγάζουσα καὶ παρέχουσα, πιστοῖς τὸ μέγα ἔλεος,

Ἀπολυτίκια.

Τὸν συνάναρχον Λόγον. Ἦχος πλ. α.

Χαῖρε Ὄσσης ὁ γόνος καὶ θεῖον βλάστημα, Παρθενομάρτυς Κυράννα νύμφη Χριστοῦ τοῦ Θεοῦ, ἡ ἀθλήσασα στερρῶς ὑστέροις ἔτεσι, καὶ καθελοῦσα τὸν ἐχθρόν, καρτερίᾳ σταθηρᾷ. Καὶ νῦν ἀπαύστως δυσώπει, ὑπὲρ τῶν πίστει τιμώντων, τὴν μακαρίαν σου ἄθλησιν.

Ἕτερον. Δόξα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τῆς Ὄσσης ἀγλάϊσμα, καὶ πολιοῦχος λαμπρά, Κυράννα πανεύφημε, Μάρτυς Χριστοῦ τοῦ Θεοῦ, ἐδείχθης ἀθλήσασα. Ὅθεν τὴν σὴν πατρίδα, πάσης λύτρωσαι βλάβης, πίστει ἐγκαυχωμένην, τῇ στερρᾷ σου ἀθλήσει, πρεσβεύουσα τῷ Κυρίῳ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ἦχος α'. Τῆς ῾Εορτῆς.

᾿Εν ᾿Ιορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ

προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα, καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. Ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός καὶ τὸν κόσμον φωτίσας, δόξα σοι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ

Ὡς ἔαρ νοητόν, ἐν τῇ ὥρᾳ χειμῶνος, ἀνέτειλεν ἡμῖν, ἡ ἁγία σου μνήμη, χειμῶνα διαλύουσα, τῶν παθῶν ταῖς πρεσβείαις σου, καὶ παρέχουσα, τοῦ Παρακλήτου τὴν θάλψιν, τοῖς γεραίρουσι, Μεγαλομάρτυς Κυράννα, τὴν θείαν σου ἄθλησιν.

Τῆς Ἑορτῆς, ὅμοιον.

Ἐν ῥείθροις ποταμοῦ, ἐπιστὰς ἐβαπτίσθης, χερσὶ τοῦ Βαπτιστοῦ, εὐσπλαγχνίᾳ ἀφάτῳ, καθαίρων τοῦ Προπάτορος τὸ παράπτωμα Κύριε. Ὅθεν αἴνεσιν, μεγαλωσύνην καὶ δόξαν, ἀναπέμπομεν, τοῖς οἰκτιρμοῖς σου Σωτήρ μου, δι' ὧν ἡμᾶς ἔσωσας.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τῆς παρθενίας σου τὸν πλοῦτον συλῆσαι, ἐπιχειρήσας ὁ ἀρχέκακος ὄφις, τῇ καρτερᾷ ἐνστάσει σου

συντέτριπται· πέτρᾳ γὰρ τῆς πίστεως, ἀκλινῶς ἱδρυμένη, ἔστης ἀκατάπληκτος, ταῖς μεθόδοις τῆς πλάνης, καὶ μαρτυρίου ἄθλοις ἱεροῖς, Παρθενομάρτυς, Κυράννα δεδόξασαι.

Τῆς ̔Εορτῆς, ὅμοιον.

Ἐν ̓Ιορδάνῃ ποταμῷ Ζωοδότα, ὡς ἐβαπτίσθης ἑκουσίῳ πτωχείᾳ, τὴν τῶν βροτῶν ούσίαν ἀπεκάθηρας· ὅθεν τὴν ἁγίαν σου, ἐπιφάνειαν Σῶτερ, δι' ἧς κατεφώτισας, ἐπιγνώσει τὸν κόσμον, ὑμνολογοῦμεν κράζοντες πιστῶς· Ἦλθες ἐφάνης, τὸ φῶς τὸ ἀπρόσιτον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος γ'. Θείας πίστεως.

Θείῳ ἔρωτι, κραταιουμένη, ἔστης ἄσειστος ἐν ταῖς αἰκίαις, καὶ ἀπειλαῖς καὶ πικραῖς μαστιγώσεσι· καὶ ἐν εἱρκτῇ τὸν ἀγῶνα τελέσασα, φωτὶ ἀΰλῳ Κυράννα δεδόξασαι· Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῆς Ἑορτῆς, Ὅμοιον.

Ὕδωρ ἄϋλον, ἀθανασίας, καὶ χρηστότητος, γλυκὺν χειμάρρουν, ἡ πηγὴ τῆς ζωῆς ὁ Σωτὴρ ἡμῶν, ἀναπηγάζων ἐν ῥείθροις βαπτίζεται, τοῦ ̓Ιορδάνου σαρκὸς ὁμοιώματι. Ὅθεν ἅπαντες, οἱ θείας τυχόντες χάριτος, ὑμνήσωμεν τὴν τούτου συγκατάβασιν.

Τὸ α'. ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον τῶν Δέκα Παρθένων.

Ζήτει τοῦτο τῷ Δεκάτῳ Ἑβδόμω Σαββάτῳ Ματθαίου.

Ὁ Ν'. Δόξα. Ταῖς τῆς Ἀθληφόρου.

Καί νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Τὴν παρθενικήν σου λαμπάδα, μαρτυρικῷ ἐλαίῳ ἄσβεστον τηρήσασα, καὶ ταύτην ταῖς χερσὶ κρατοῦσα, σὺν ταῖς φρονίμοις συνεισῆλθες παρθένοις, είς τὸν οὐράνιον νυμφῶνα, Κυράννα μεγαλώνυμε· ἐν ἀνδρείᾳ γὰρ φρενί, ἀντικαταστᾶσα τοῖς τυράννοις, ἐπάξιον ἐδέξω, τὸ βραβεῖον τῶν ἄθλων σου. Ἀλλ' ὡς ἔχουσα παρρησίαν πρέσβευε, σώζεσθαι ἡμᾶς πάσης θλίψεως.

Εἶτα οἱ κανόνες τῆς Ἑορτῆς καὶ τῆς Ἁγίας.

Κανὼν τῆς ῾Εορτῆς οὗ ἡ ἀκροστιχίς·

«Βάπτισμα ρύψις γηγενῶν ἁμαρτάδος. Κοσμᾶ».

Ὠδὴ α΄. Ἦχος β΄ Ὁ Εἰρμός.

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος· ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει, ῥείθροις ᾿Ιορδάνου καὶ δρακόντων, κεφαλὰς ἐμφωλευόντων διαθλάττει, ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος· ὅτι δεδόξασται.

Πυρὶ τῆς, Θεότητος ἀΰλῳ, σάρκα ὑλικὴν ἠμφιεσμένος, Ἰορδάνου περιβάλλεται τὸ νᾶμα, ὁ σαρκωθεὶς ἐκ Παρθένου Κύριος ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων, τούτοις καθαρθεὶς ἐν ᾿Ιορδάνῃ, οἷς θελήσας ὡμοιώθη ὅ ἦν μείνας, τοὺς ἐν σκότει φωτίζει Κύριος· ὅτι δεδόξασται.

Κανὼν τῆς ῾Αγίας οὗ ἡ ἀκροστιχίς.

῞Οσσης Κυράννα κλέος ὠράθης. Γερασίμου.

Ἦχος δ'. ᾿Ανοίξω τὸ στόμα μου.

Ὁλόφωτον σκήνωμα καὶ φωταυγὲς ἐνδιαίτημα, Κυράννα κεκλήρωσαι, ἀντὶ ζοφώδους εἰρκτῆς, ἐκτελέσασα, τὸν δρόμον σου ῾Αγία· διὸ κἀμὲ λάμπρυνον, ὑμνολογοῦντά σε.

Σεμνότητι τρόπων σου, καὶ πολιτείας χρηστότητι, παρθένος ἀκήρατος, Κυράννα πέφηνας· ἔνθεν πάνσεμνε, ὥσπερ οἰκείαν νύμφην, Χριστός σε προσήκατο, πόνοις ἀθλήσεως.

Συλῆσαι πειρώμενος, τὸν θησαυρὸν τῆς ἀγνείας σου, ὁ θὴρ ὁ δυσώνυμος, τοῦ δυσσεβοῦς τῇ φορᾷ, καταβέβληται, τῇ σῇ στερρᾷ ἐνστάσει, Κυράννα καὶ ἤθλησας, πόθῳ τοῦ Κτίστου σου.

Θεοτοκίον.

Ἡ φύσις ἡ ἄστεκτος, Πατρὸς ὁ Λόγος ὁ σύνθρονος, ἐν σοὶ κατεσκήνωσε, σάρκα λαβὼν ἐκ τῶν σῶν, ὑπὲρ ἔννοιαν, αἱμάτων Θεοτόκε, καὶ κόσμον διέσωσε, τὸν ἀπολλύμενον,

Καταβασία.

Στείβει, θαλάσσης, κυματούμενον σάλον

Ἤπειρον αὖθις, Ἰσραὴλ δεδειγμένον

Μέλας δὲ πόντος, τριστάτας Αἰγυπτίων

Ἔκρυψεν ἄρδην, ὑδατόστρωτος τάφος

Ῥώμῃ κραταιᾷ δεξιᾶς τοῦ Ὑψίστου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἰσχὺν ὁ διδούς, τοῖς βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται,

μολεῖ δὲ πρὸς τὸ Βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Ούκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ ούκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Στειρεύουσα πρίν, ήτεκνωμένη δεινῶς σήμερον, εὐφραίνου Χριστοῦ ἡ ᾿Εκκλησία· δι' ὕδατος καὶ Πνεύματος, υἱοὶ γάρ σοι γεγέννηται, ἐν πίστει ἀνακράζοντες· Ούκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ ούκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Μεγάλῃ φωνῇ, ἐν τῇ ἐρήμῳ βοᾷ Πρόδρομος· Χριστοῦ ἑτοιμάσατε ὁδούς, καὶ τρίβους τοῦ Θεοῦ ἡμῶν, εὐθείας, ἀπεργάσασθε, ἐν πίστει ἀνακράζοντες· Ούκ ἔστιν Ἅγιος, ὡς ὁ Θεος ἡμῶν, καὶ ούκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Τῆς Ἁγίας. Τοὺς σοὺς ὑμνολόγους.

Στερρῶς ἀντετάξω τοῖς ἀνόμοις, καὶ ἤνεγκας κάθειρξιν δεινήν, Κυράννα παμμακάριστε, Χριστὸν θερμῶς δοξάζουσα, τὸν δόντα σοι τὴν δύναμιν καταβαλεῖν τὸν ἀλάστορα.

Κυρίων τὸν Κύριον ποθοῦσα, Χριστὸν τὸν νυμφίον τῶν ψυχῶν, Κυράννα παναοίδιμε, τούτῳ πιστῶς νενύμφευσαι, οἷα παρθένος ἄμωμος, τῇ μακαρίᾳ ἀθλήσει σου.

Ὑπῆλθες Μαρτύρων τοὺς ἀγῶνας, ὑστέροις ἐν ἔτεσι σεμνή, ἐν ἀσθενείᾳ φύσεως, καὶ τοῦ Χριστοῦ τὸ

ὄνομα, Κυράννα ὡμολόγησας, ἀθλητικῷ παραστήματι.

## Θεοτοκίον.

Ῥωσθεῖσα Κυράννα ἡ παρθένος, Παρθένε τῇ χάριτι τῇ σῇ, ὑπέμεινεν ὡς ἄσαρκος, βασάνων τὸ ἐπίπονον, καὶ τὸν Υἱόν σου Ἄχραντε, ἐπὶ ἀπίστων ἐδόξασε.

## Καταβασια.

Ὅσοι παλαιῶν, ἐκλελύμεθα βρόχων

Βορῶν λεόντων, συντεθλασμένων μύλας

Ἀγαλλιῶμεν, καὶ πλατύνωμεν στόμα

Λόγῳ πλέκοντες, ἐκ λόγων μελῳδίαν

Ὧ τῶν πρὸς ἡμᾶς, ἥδεται δωρημάτων.

## Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἁγνείᾳ ἐκλάμπουσα, οἷα παρθένος σεμνή, ἀθλήσει ἠρίστευσας, ἐν τοῖς ὑστέροις καιροῖς, Κυράννα θεόνυμφε· χαίρουσα γὰρ ὑπέστης, ῥαβδισμοὺς καὶ κακώσεις· ὅθεν καὶ μετετέθης, πρὸς ἀΰλους σκηνώσεις, πρεσβεύουσα τῷ Σωτῆρι, δοῦναι ἡμῖν ἔλεος.

Τῆς ῾Εορτῆς, ὅμοιον.

Χριστὸς παραγέγονεν, ἐν ᾿Ιορδάνου ῥοαῖς, καὶ βάπτισμα ἔλαβε, ταῖς τοῦ Προδρόμου χερσίν, ὁ μόνος ἀνέυθυνος· ἔπλυνε γὰρ ἐν τούτῳ τῶν ἀνθρώπων τὸν ῥύπον, λύτρωσιν αἰωνίαν, τῷ ᾿Αδάμ πρυτανεύσας· διὸ δοξολογήσωμεν, αὐτοῦ τὴν ἀγαθότητα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἀκήκοε Κύριε φωνῆς σου, ὃν εἶπας· Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ, ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ῥυπτόμενον ἥλιον τίς εἶδεν, ὁ Κήρυξ βοᾷ, τὸν ἔκλαμπρον τῇ φύσει, ἵνα σε Ὕδασιν Ἀπαύγασμα τῆς δόξης, Πατρὸς χαρακτὴρ ἀϊδίου ἐκπλύνω· καὶ χόρτος ὤν, πυρὶ ψαύσω τῆς σῆς Θεότητος· σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ὑπέφηνεν ἔνθεον ἣν εἶχεν, εὐλάβειαν Μωσῆς περιτυχὼν σοι· ὡς γὰρ τῆς βάτου σε φωνήσαντα ᾐσθήθη, εὐθὺς ἀπεστράφη τὰς ὄψεις· ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς, ἢ πῶς χειροθετήσω σε; σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος, καὶ λόγῳ τιμώμενος, ἀψύχων εὐλαβοῦμαι· εἰ γὰρ βαπτίσω σε, κατήγορόν μοι ἔσται, πυρὶ καπνιζόμενον ὄρος, φυγοῦσα δὲ

θάλασσα διχῇ, καὶ Ἰορδάνης οὗτος στραφείς· σὺ γὰρ Χριστός, Θεοῦ σοφία καὶ δύναμις.

Τῆς ῾Αγίας. Ὁ καθήμενος ἐν δόξῃ.

Ἀπερίτρεπτον καρδίαν, καὶ ἀήττητον φρόνημα, ἔχουσα Κυράννα, ὥσπερ τῶν παθῶν κυριεύουσα, ού παρετράπης ἐχθρῶν τοῖς μηχανήμασιν, ούκ ἐπτόησαι, ταῖς ἀπειλαῖς καὶ ταῖς μάστιξι.

Νόμῳ θείῳ πεφραγμένη, τῶν ἀνόμων ἐξέκλινας, πάσας τὰς θωπείας, καὶ τὰς δωρεὰς νοῒ σώφρονι, πρὸς τὸν Σωτῆρα Χριστὸν ἐνατενίζουσα, τὸν δωρούμενον, ἀθανασίας δωρήματα.

Νύμφη ὤφθης τοῦ Σωτῆρος, εὐκλεὴς καὶ περίδοξος, καὶ ὡς προῖκα τούτῳ ἔνδοξε Κυράννα προσήγαγες, τῶν ἀρετῶν σου τὸν πλοῦτον καὶ τὰ σκάμματα, τῆς ἀθλήσεως, τῆς ἱερᾶς σου πανεύφημε.

Θεοτοκίον.

Ἀπορρήτως συλλαβοῦσα, καὶ ἀφθόρως κυήσασα, Κόρη Παναγία, τὸν Δημιουργὸν πάσης κτίσεως, ἐκ σοῦ λαβόντα Παρθένε τὸ ἀνθρωπινον, καὶ πρὸς ἄφθαρτον, ἡμᾶς ζωὴν ἐπανάγοντα.

Καταβασία.

Πυρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,

Ὑμνῶν Προφήτης τὴν βροτῶν καινουργίαν,

Ῥήγνυσι γῆρυν, Πνεύματι κροτουμένην,

Σάρκωσιν ἐμφαίνουσαν ἀρρήτου Λόγου,

Ὧ τῶν δυναστῶν, τὰ κράτη συνετρίβη

## ᾨδὴ ε'. Ὁ Εἱρμός.

Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δέ, ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν, εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν, ὑπὸ Ἰωάννου βαπτισθῆναι, αὐτὸς ἐν μέσῳ ἔστη, προσεφώνει δὲ τοῖς παροῦσι· Τίς ἔδειξεν ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν ἐκκλῖναι τὴν μέλλουσαν; καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε· παρὼν γὰρ νῦν, εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ Δημιουργός, μέσος ἑστηκὼς ὁ εἷς ἁπάντων, καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος, τὴν παγκόσμιον ἅλωνα πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων, εὐκαρποῦσιν αἰώνιον, ζωὴν χαριζόμενος.

## Τῆς Ἁγίας. Ἐξέστη τὰ σύμπαντα.

Καυχᾶται τοῖς ἄθλοις σου, Ὄσσα ἡ σὲ βλαστήσασα, καὶ τὴν σὴν κηρύττει προστασίαν, Μεγαλομάρτυς Κυράννα νύμφη Χριστοῦ· τῇ σῇ γὰρ πρεσβείᾳ πρὸς Θεόν, ῥύεται ἑκάστοτε, χαλεπῶν περιστάσεων.

Λαμπρῶς ἠνδραγάθησας, ἐν ἀσθενείᾳ φύσεως, ἔνδοξε Κυράννα θείῳ πόθῳ αἰωρουμένη· ἐν τῇ εἱρκτῇ γὰρ σεμνή, ἔφερες ῥαβδίσματα δεινά, δι' ὧν ἀπερράπισας, τὴν ἰσχὺν τοῦ ἀλάστορος.

Εἱρκτῆς τὴν κατάκλεισιν, καὶ τῶν δεσμῶν τὴν κάκωσιν, καὶ τὰς χαλεπὰς ἄλλας ὀδύνας, προσαγομένας τῷ σώματί σου σεμνή, καὶ τὰς ἀπειλὰς τῶν δυσσεβῶν, ὡς οὐδὲν λελόγισαι, τῇ ἰσχύϊ τῇ ἄνωθεν.

## Θεοτοκίον.

Ὁ οἶκος πάμφωτος, τὸ ἔμψυχον παλάτιον, τοῦ παμβασιλέως καὶ Σωτῆρος, Θεογεννῆτορ Κόρη Πανύμνητε, ῥῦσαί με προλήψεων δεινῶν, καὶ τὸν νοῦν μου πλήρωσον, φωτισμοῦ θείας χάριτος.

## Καταβασία.

Ἐχθροῦ ζοφώδους καὶ βεβορβορωμένου,

Ἰὸν καθάρσει Πνεύματος λελουμένοι,

Νέαν προσωρμίσθημεν ἀπλανῆ τρίβον,

Ἄγουσαν ἀπρόσιτον εἰς θυμηδίαν,

Μόνοις προσιτήν, οἷς Θεὸς κατηλλάγη.

## ᾨδὴ ς΄. Ὁ Εἱρμὸς.

Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτός, ὁ Ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ. Μετανοεῖτε, πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστός, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

Γεννηθεὶς ἀρρεύστως, ἐκ Θεοῦ καὶ Πατρός, ἐκ τῆς Παρθένου, δίχα σαρκοῦται ῥύπου Χριστός· οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν τοῦ Λόγου συνάφειαν, λύειν ἀμήχανον, διδάσκει ὁ Πρόδρομος, γηγενεῖς ἐκ πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίζει, τελευταίῳ Χριστός, τοὺς ἀπειθοῦντας, καὶ μὴ Θεὸν φρονοῦντας αὐτόν· ἐν Πνεύματι δὲ καινοποιεῖ, δι᾽ ὕδατος χάριτι, τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς Θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

## Τῆς Ἁγίας. Τὴν θείαν ταύτην.

Σαρκὸς τοὺς πόνους ὑπήνεγκας, νοῒ ἀποσκοποῦσα τὴν ἄπονον, ζωήν καὶ ἄληκτον, Μάρτυς Κυράννα πανεύφημε, ἧς κληρονόμος ὤφθης, καλῶς ἀθλήσασα.

Ὡράθη φῶς μέγα ἄνωθεν, καλύψαν σου τὸ σῶμα τὸ ἅγιον, Κυράννα ἔνδοξε, καὶ τοὺς ὁρῶντας κατέπληξε, ὅτε τὴν σὴν ἀπέδως, ψυχὴν τῷ Κτίστῃ σου.

Ῥώμῃ τῶν σῶν ἀντιλήψεων, ἡ Ὄσσα ἡ πατρίς σου προσφεύγουσα, Κυράννα ἔνδοξε, πάσης λυτροῦται κακώσεως, καὶ πόθῳ ἑορτάζει, τὴν θείαν μνήμην σόυ.

Θεοτοκίον.

Ἀνερμηνεύτως κυήσασα, μορφῇ τῇ καθ' ἡμᾶς ᾿Αειπάρθενε, τὸν πάντων Κύριον, τῆς τῶν παθῶν με ἀπάλλαξον, πικρᾶς κυριαρχίας, τῇ ἀντιλήψει σου.

Καταβασία.

Ἱμερτὸν ἐξέφηνε σὺν πανολβίῳ,

Ἤχῳ Πατήρ, ὃν γαστρὸς ἐξηρεύξατο.

Ναί φησιν, Οὗτος, συμφυὴς γόνος πέλων,

Φώταυγος ἐξώρουσεν ἀνθρώπων γένους,

Λόγος τέ μου ζῶν, καὶ βροτὸς προμηθείᾳ.

Κοντάκιον.Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Μαρτυρίου στίγματι, τῆς παρθενίας τὴν χλαῖναν, λαμπροτέρα ἔδειξας, τῇ καρτερᾷ σου ἀθλήσει· ᾔσχυνας, τῶν παρανόμων τὰς μεθοδείας· ἔδραμες, λαμπαδηφόρος τῷ σῷ νυμφίῳ· διὰ τοῦτό σε τιμῶμεν, Παρθενομάρτυς Κυράννα ἔνδοξε.

## Ὁ Οἶκος.

Πολιτείᾳ σεμνῇ, καὶ ἁγνείας καλλονῇ, διαπρέπουσα πιστῶς, ὡς νεᾶνις ἐκλεκτή, κάλλος ἀπόθετον πέφηνας, καὶ ἠθῶν ἀμέμπτων λειμὼν εὐθαλής, πάντα τὰ σά, τῷ νυμφίῳ σου Χριστῷ, ἀναθεμένη ἐκ ψυχῆς· ἀλλ' ὁ βασκαίνων τοῖς καλοῖς ἐχθρός, τῶν ἐν σοὶ καλῶν, τὸν θησαυρὸν ἀφαρπάσαι βουληθείς, δυσσεβῆ κατὰ σοῦ, ἀκολάστῳ διαθέσει ἐπήγειρε· σὺ δὲ μακαρία παρθένε, ὅλῳ τῷ νοΐ ἀτενίζουσα Χριστῷ τοῦτον μὲν ἀνδρείᾳ ἀπώσω γνώμῃ, τὴν δὲ καλὴν ὁμολογίαν εὐσθενῶς ὡμολόγησας· καὶ θωπείας καὶ ἀπειλάς, καὶ εἱρκτὴν καὶ δεσμά, καὶ αἰωρήσεις καὶ μαστιγώσεις ὀδυνηρὰς καρτερῶς ὑπομείνασα, νομίμως τὸν δρόμον ἐτέλεσας, καὶ ἀθλητικῇ δόξῃ δεδόξασαι· διὰ τοῦτό σε τιμῶμεν, Παρθενομάρτυς Κυράννα ἔνδοξε.

## Συναξάριον.

Τῇ η'. τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας ἐνδόξου Μεγαλομάρτυρος Κυράννης, τῆς ἐξ Ὄσσης τῆς Θεσσαλονίκης καταγομένης, ἀθλησάσης δὲ ἐν ἔτει 1751.

Στίχ.

Κυράννα παθῶν καὶ βασάνων κυρία

Φανεῖσ' ἀπῆλθε πρὸς Κύριον κυρίων

᾿Ογδοάτῃ δέχθη Κυράννης σῶμα ἄρουρα ἁγαστῆς.

## Ὠδὴ ζ'. Ὁ Εἱρμὸς

Νέους εὐσεβεῖς, καμίνῳ πυρὸς προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου Ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὥσπερ οὐρανῷ, σὺν τρόμῳ καὶ θαύματι παρίσταντο, ἐν Ἰορδάνῃ αἱ Δυνάμεις τῶν Ἀγγέλων σκοπούμεναι, τοσαύτην Θεοῦ τὴν συγκατάβασιν, ὅπως ὁ κρατῶν τὴν ὑπέρῳον τῶν ὑδάτων ὑπόστασιν, ἐν τοῖς ὕδασι, σωματοφόρος ἕστηκεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νεφέλη ποτέ, καὶ θάλασσα θείου προεικόνιζε, Βαπτίσματος τὸ θαῦμα, ἐν οἷς ὁ πρὶν βαπτίζεται, διεξοδικῶς τῷ Νομοθέτῃ λαός, θάλασσα δὲ ἦν τύπος ὕδατος, καὶ νεφέλη τοῦ Πνεύματος, οἷς τελούμενοι· Εὐλογητὸς εἶ κράζομεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἅπαντες πιστοί, ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν, θεολογοῦντες ἀσιγήτως, σὺν Ἀγγέλοις δοξάσωμεν, Πατέρα Υἱὸν καὶ Πνεῦμα Ἅγιον· τοῦτο γὰρ Τριὰς ὑποστάσεσιν ὁμοούσιος, εἷς δὲ Θεός, ᾧ καὶ ψάλλομεν· Ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

## Τῆς ῾Αγίας. Οὐκ ἐλάτρευσαν.

Θείῳ ἔρωτι, ἐπτερωμένη ἔνδοξε, γενναίως ἔφερες, ἀπαιωρήσεις δεινάς, καὶ πᾶσαν τὴν ἔφοδον, των μαινομενων ἐχθρῶν· δι᾽ ὧν ἔλυσας, τὴν τούτων ἀθεότητα, κυριώνυμε Κυράννα.

Ἡ καλλίνικος, Κυράννα καὶ θεόνυμφος, Ὄσσης τὸ βλάστημα, εὐσεβῶν ἡ χαρά, ἡμᾶς πρὸς ἑόρτιον, καλεῖ πανήγυριν· δεῦτε ἅπαντες, ὑμνήσωμεν γηθόμενοι, τοὺς λαμπροὺς αὐτῆς ἀγῶνας.

Σῶμα ἄσπιλον, διατηροῦσα πάνσεμνε, καὶ ψυχὴν ἄμωμον, οἷα παρθένος ἁγνή, δεκτὸν ὁλοκάρπωμα, θῦμα εὐπρόσδεκτον, προσενήνεξαι, Κυράννα τῷ νυμφίῳ σου, ἄνθραξι τοῦ μαρτυρίου.

## Θεοτοκίον.

Γνῶσιν κρείττονα, καὶ φόβον μοι σωτήριον, δίδου Πανάμωμε, καὶ μετανοίας αὐγήν, ὡς ἂν τοῖς προστάγμασι τοῦ ἐκ σοῦ λάμψαντος, τὸ ὑπόλοιπον, τελέσω τὸ τοῦ βίου μου, ὁ προσφεύγων σου τῇ σκέπῃ.

## Καταβασία.

Ἔφλεξε ῥείθρῳ τῶν δρακόντων τὰς κάρας,

Ὁ τῆς καμίνου τὴν μετάρσιον φλόγα,

Νέους φέρουσαν εὐσεβεῖς κατευνάσας,

Τὴν δυσκάθεκτον ἀχλὺν ἐξ ἁμαρτίας,

Ὅλην πλύνει δέ, τῇ δρόσῳ τοῦ Πνεύματος.

## Ὠδὴ η'. Ὁ Εἱρμός.

Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον, ὅτι ῥείθροις ἔμελλεν, ἄϋλον πῦρ είσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκί, βαπτιζόμενον τὸν Κτίστην, ὅν εὐλογοῦσι Λαοί, καὶ ὑπερυψοῦσιν, είς πάντας τοὺς αἰῶνας.

Ἀπόθου φόβον ἅπαντα, ὁ Λυτρωτὴς τῷ Προδρόμῳ ἔφησεν· ἐμοὶ δὲ πειθάρχει, ὡς Χριστῷ μοι πρόσελθε· τοῦτο γὰρ φύσει πέφυκα· ἐμῷ προστάγματι εἶξον, καὶ βάπτισόν με συγκαταβάντα, ὅν εὐλογοῦσι Λαοί, καὶ ὑπερυψοῦσιν, είς πάντας τοὺς αἰῶνας.

Ῥημάτων ὡς ἀκήκοεν, ὁ Βαπτιστὴς τοῦ Δεσπότου, σύντρομος παλάμην ἐκτείνει, χειραπτήσας ὅμως δέ, τὴν κορυφὴν τοῦ Πλάστου αὐτοῦ, τῷ βαπτισθέντι ἐβόα· Ἁγίασόν με· σὺ γὰρ Θεός μου, ὅν εὐλογοῦσι Λαοί, καὶ ὑπερυψοῦσιν, είς πάντας τοὺς αἰῶνας.

Τριάδος ἡ φανέρωσις, ἐν Ἰορδάνῃ γέγονεν· αὕτη γὰρ ὑπέρθεος φύσις, ὁ Πατὴρ ἐφώνησεν. Οὗτος ὁ βαπτιζόμενος, Υἱὸς ὁ ἀγαπητός μου, τὸ Πνεῦμα συμπαρῆν τῷ ὁμοίῳ· ὅν εὐλογοῦσι Λαοί, καὶ ὑπερυψοῦσιν, είς πάντας τοὺς αἰῶνας.

## Τῆς ῾Αγίας. Παῖδας εὐαγεῖς.

῎Εχει σε ῎Οσσα ἡ πατρίς σου, προστάτιν καὶ βοηθὸν καὶ ἀγαλλίαμα, μέγα καταφύγιον, καὶ στερρὸν προπύργιον· διὸ καὶ καταφεύγουσα ἐν τῷ ναῷ σου ἀεί, λαμβάνει ἐξ αὐτοῦ ὦ Κυράννα, τῆς σῆς βοηθείας, τὰς θείας χορηγίας.

Ῥᾷον καθυπέστης μακαρία, θυμὸν τῶν παρανομούντων ἀλογώτατον, φυλακῆς τὴν κάθειρξιν, καὶ πικρὰ ῥαβδίσματα, κλοιὰ καὶ τὰ λακτίσματα στερρῷ φρονήματι, καὶ σύμμορφος τῶν πάλαι Μαρτύρων, τῇ σῇ καρτερίᾳ, Κυράννα ἀνεδείχθης.

῎Ανωθεν φῶς μέγα ἐπιλάμψαν, κατηύγασε, δαψιλῶς τὸ δεσμωτήριον, και τὸ θεῖον σῶμά σου, παμφαῶς ἐκάλυψεν, ἡνίκα τὴν ἁγίαν σου ψυχὴν καὶ ἄμωμον, εἰς χεῖρας ἐναπέθου Κυρίου, ἔνδοξε Κυράννα, τελέσασα τὸν δρόμον.

## Θεοτοκίον.

Στήριγμα καὶ θείαν θυμηδίαν, Παρθένε Θεοχαρίτωτε τὴν χάριν, σου, ἡ Κυράννα, ἔχουσα, χαίρουσα διήνυσε, τοὺς πόνους τῆς ἀθλήσεως καὶ κατεσκήνωσεν ἐν δόξῃ τῆς ζωῆς τῆς ἀγήρω, τὴν σὴν ἀνυμνοῦσα, μεγαλωσύνην Κόρη.

## Καταβασία.

Ἐλευθέρα μὲν ἡ κτίσις γνωρίζεται.

Υἱοὶ δὲ φωτός, οἱ πρὶν ἐσκοτισμένοι.

Μόνος στενάζει, τοῦ σκότους ὁ προστάτης.

Νῦν εὐλογείτω συντόνως τὸν αἴτιον,

Ἡ πρὶν τάλαινα τῶν Ἐθνῶν παγκληρία.

## Ὠδὴ θ'. Ὁ εἱρμός.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν, ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Δαυῒδ πάρεσο, Πνεύματι τοῖς φωτιζομένοις· Νῦν προσέλθετε, ᾆδε πρὸς Θεόν, ἐν πίστει λέγων φωτίσθητε· οὗτος ὁ πτωχὸς ἐκέκραξεν Ἀδὰμ ἐν πτώσει· καὶ γὰρ αὐτοῦ εἰσήκουσε Κύριος ἐλθών, ῥείθροις τοῦ Ἰορδάνου, φθαρέντα δὲ ἀνεκαίνισεν.

Ὁ Ἡσαΐας λούσασθε, καὶ καθάρθητε φάσκει· τὰς πονηρίας ἔναντι, ἀφέλεσθε Κυρίου· οἱ διψῶντες, ὕδωρ ἐπὶ ζῶν πορεύεσθε· ῥανεῖ γὰρ ὕδωρ καινοποιὸν Χριστός, τοῖς προστρέχουσιν αὐτῷ ἐν πίστει, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, βαπτίζει Πνεύματι.

Συντηρώμεθα χάριτι, πιστοὶ καὶ σφραγίδι· ὡς γὰρ ὄλεθρον ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης· οὕτω καὶ ἡμῖν, ἐξόδιον τὸ θεῖον τοῦτο, τῆς

παλιγγενεσίας λουτήριον ἔσται· ἔνθεν καὶ τῆς Τριάδος, ὀψόμεθα φῶς τὸ ἄδυτον.

Τῆς Ἁγίας. Ἅπας γηγενής.

Ἴσχυσας σεμνή ἰσχὺν τὴν ὀλέθριον τοῦ κοσμοκράτορος. ἀσθενείᾳ φύσεως, καταπαλαῖσαι ἰσχύϊ κρείττονι, Κυράννα καὶ ἀνέλαμψας πόνοις ἀθλήσεως· διὰ τοῦτο, ἀθανάτῳ δόξῃ σε, ὁ νυμφίος Χριστὸς ἐμεγάλυνε.

Μάστιξι πικραῖς, ἡμέραις ἐν πλείοσι καταξαινόμενον, τὸ σεπτὸν σαρκίον σου, τὴν τῆς ἀπάτης ὀφρὺν κατέξανε· καὶ κρεμαμένη πάνσεμνε πρὸς τὰ οὐράνια, ὦ Κυράννα, λαμπαδοῦχος ἔδραμες, ὡς παρθένος καὶ μάρτυς ἀήττητος.

Ὅρμον γαληνόν, ἡ Ὄσσα κατέχουσα ἡ σὲ βλαστήσασα, τὸν ναόν σου ἔνδοξε, τῶν ἐν τῷ βίῳ κυμάτων ῥύεται, καὶ πάσης περιστάσεως τούτῳ προστρέχουσα, καὶ βοᾷ σοι· χαίροις ἐμὸν καύχημα, ὦ Κυράννα καὶ θεῖον διάδημα.

Θεοτοκίον.

Ὕδωρ τῆς ζωῆς, ὡς κρήνη ζωήρρυτος κόσμῳ πηγάσασα, Κόρη Παντευλόγητε, παθῶν μου σβέσον τὰ ὑπεκκαύματα, καὶ τὴν ψυχήν μου ἄρδευσον ἀΰλοις νάμασιν, ἵνα θείων, ἀρετῶν βλαστήματα, γεωργήσῃ ζωὴν εἰς αἰώνιον.

## Καταβασία.

Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην ἡμᾶς ἐκ τῆς κατάρας.

Ὢ τῶν ὑπὲρ νοῦν, τοῦ τόκου σου θαυμάτων!

Νύμφη πάναγνε, Μῆτερ εὐλογημένη·

Δι᾽ ἧς τυχόντες παντελοῦς σωτηρίας,

Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ,

Δῶρον φέροντες ὕμνον εὐχαριστίας.

## ᾿Εξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Παρθενικῇ λαμπρότητι, κοσμουμένη Κυράννα, νύμφη Χριστοῦ περίδοξος, ἀληθῶς ἀνεδείχθης, καὶ μαρτυρίου ἀγῶσι, τὸν ἐχθρὸν καθελοῦσα, λαμπαδηφόρος ἔδραμες, πρὸς νυμφῶνα τῆς δόξης τῆς θεϊκῆς, καὶ συνήφθης τάξεσιν οὐρανίαις· μεθ' ὧν ἀεὶ ἱκέτευε, ὑπὲρ τῶν σὲ τιμώντων.

## Τῆς ῾Εορτῆς, ὅμοιον.

῾Ο Ποιητὴς τῆς κτίσεως, ἐν μορφῇ ἀνθρωπίνῃ, ἐν ᾿Ιορδάνου νάμασιν, ἐκκαθαίρων τὸν κόσμον, ὑπὸ χειρῶν τοῦ Προδρόμου, εὐσπλαγχνίᾳ ἀρρήτῳ τὸ βάπτισμα ἐδέξατο, καὶ κατηύγασε πάντας θείῳ φωτί, τοὺς τὴν ἐπιφάνειαν ἀνυμνοῦντας, αὐτοῦ καὶ τὴν χρηστότητα, τὴν πολλὴν προσκυνοῦντας.

## Είς τοὺς Αἴνους.

## ῾Ιστῶμεν στίχους δ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

## Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τῆς ᾿Αθληφόρου Κυράννης δεῦτε τιμήσωμεν, τὴν φωτοφόρον μνήμην, φιλομάρτυρες πάντες· αὕτη γὰρ ὑστέροις ἐν τοῖς καιροῖς, τὸν ἀρχέκακον δράκοντα, καταβαλοῦσα ἀγῶσιν ἀθλητικοῖς, τὸν Χριστὸν λαμπρῶς ἐδόξασε.

Τῆς σῆς ἀγνείας τὸν πλοῦτον καὶ τὴν λαμπρότητα, συλῆσαι ὁ ἀλάστωρ, βουληθεὶς κατῃσχύνθη· σὺ γὰρ πρὸς ἀγῶνας μαρτυρικούς, ἀπεδύσω στερρότατα, Μεγαλομάρτυς Κυράννα καὶ ἐν Χριστῷ ὑπὲρ φύσιν ἠνδραγάθησας.

Τὴν ἐκδημίαν σου Μάρτυς τὴν πρὸς αὐτὸν ὁ Χριστός, δοξάζων παραδόξως, Ἀθληφόρε Κυράννα, φωτὶ ἐπουρανίῳ τὸ εὐκλεές, ἐθαυμάστωσε σῶμά σου, δείξας ἐν τούτῳ ἣν εὗρες ἐν οὐρανῷ, ἀληθῶς δόξαν αἰώνιον.

Χαῖρε και σκίρτα η ῎Οσσα ἐν θείῳ Πνεύματι· ἐκ σοῦ γὰρ ὡς εὐῶδες, ἀνεβλάστησε κρίνον, Κυράννα ἡ ἐν Μάρτυσι θαυμαστή, τοὺς πιστοὺς κατευφραίνουσα, καὶ τὴν σεπτὴν αὐτῆς μνήμην ἄγε λαμπρῶς, τὸν Σωτῆρα μεγαλύνουσα.

Δόξα. Ἦχος β'.

Σήμερον ἡ καλλιπάρθενος Κυράννα, τὸ τῆς ἀγνείας εὐῶδες κειμήλιον, τὴν τῶν Μαρτύρων ἀρετὴν ζηλώσασα, μαρτυρικῶς τὸν δρόμον τετέλεκε, ῥωσθεῖσα θείῳ Πνεύματι· ταῖς τοῦ ἐχθροῦ γὰρ μεθοδείαις, ἐν συνέσει πολλῇ, καὶ ἀνδρείᾳ φρενῶν ἀντικατέστη, νομίμως ἀνδρισαμένη, κατὰ πάσης δυσσεβείας· καὶ τοῦ Χριστοῦ τὰ στίγματα, ἐν τῷ σώματι βαστάσασα, τῆς ἄνω βασιλείας, τὸ δηνάριον ἔλαβεν· ἐν ᾗ Αγγέλοις συνοῦσα, πρεσβεύει ἀπαύστως, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Τῆς Ἑορτῆς.

Σήμερον ὁ Χριστός, ἐν ᾿Ιορδάνῃ ἦλθε βαπτισθῆναι. Σήμερον Ἰωάννης ἅπτεται, κορυφῆς τοῦ Δεσπότου. Αἱ Δυνάμεις τῶν οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι μυστήριον. Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν· ὁ ᾿Ιορδάνης ἰδὼν ἀνεστρέφετο. Ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν· Δόξα τῷ φανέντι Θεῷ, καὶ ἐπὶ γῆς ὀφθέντι, καὶ φωτίσαντι τὸν κόσμον.

Δοξολογία μεγάλη καI ᾿Απόλυσις.

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ, ἐκ τοῦ κανόνος τῆς Ἁγίας ἡ γ΄ καὶ

στ'. ᾠδή. ᾿Απόστολον καὶ Εὐαγγέλιον τῆς ῾Αγίας Βαρβάρας, ζήτει τῇ δ΄ Δεκεμβρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μεγαλυνάριον.

Χαίροις ὁ τῆς ῎Οσσης θεῖος βλαστός, καὶ θερμὴ προστάτις, καὶ μεσῖτις πρὸς τὸν Θεόν· χαίροις καλλιμάρτυς, Κυράννα ᾿Αθληφόρε, Χριστοῦ ἄφθορε νύμφη, Μαρτύρων σύσκηνε.

Δίστιχον.

Κυράννης ἀνύμνησεν ἤδη τοὺς ἄθλους

Γεράσιμος ᾄσμασιν, ὃς ῎Αθῳ ναίει.